καὶ διεξάγων ἀρίστως τὰ ἀνθρώπινα πράγματα, νῦν μὲν (τὴν τῶν) ἡμερῶν τεσσαρακοντάδα πάντως ἡμᾶς εὐαρέστως διηνυκότας, ᾆσαί σοι τὰ ἐκ νεκάδων ἀναστάσιμα, ἐφεξῆς δὲ καὶ τὰ κατ' ἐχθρῶν κροτῆσαί σοι νικητήρια· εἰ δὲ καὶ τὰ εἰσιτήρια ἑορτάσομεν ἧς ἐκπεπτώκειμεν πόλεως εἰς ἐλευθερωτὴν Μωσῆν καὶ τὸν ἐπανάγοντα τὴν αἰχμαλωσίαν Σιὼν Ζοροβάβελ κριθείσης τῆς βασιλείας μου, εἴη ἂν τοῦτο τῶν σῶν θαυμασίων ἔργων θαυμασιώτερον καὶ τῶν πώποτε τελεσθέντων ἐξαισίων ἐξαισιώτερον. Ὅτε καὶ τὰ λοιπὰ θρέμματα τῆς φωνῆς ἀκηκοότα τῆς βασιλείας μου, ὡς εἰς μάνδραν μίαν τὴν προτέραν ἀρχὴν ἀλισθήσονται, ἃ τῶν ἕως οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμὴν, εἰς δόξαν σὴν καὶ καύχημα τῆς κληρονομίας σου, ᾧ πρέπει μεγαλωσύνη τε καὶ προσκύνησις ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

Τοῦ αὐτοῦ λόγος ἐκδοθεὶς ἐπὶ τῷ ἀναγνωσθῆναι εἰς τὸν Λάσκαριν κὺρ Θεόδωρον βασιλεύοντα τῶν ἑῴων Ρωμαϊκῶν πόλεων, ὅτε οἱ λατῖνοι κατεῖχον τὴν Κωνσταντινούπολιν, ὁ δὲ ἐκ Μυσίας Ἰωάννης κατέτρεχε μετὰ Σκυθῶν τὰς δυσικὰς Ρωμαϊκὰς χώρας.

Φασὶν Ἀλέξανδρον, ἐκεῖνον δ' Ἀλέξανδρον, ὃς ἐκφὺς Φιλίππου στρατείαν ἤλασε βαρεῖαν κατὰ Δαρείου, καὶ μόνος ἐξ ἁπάντων τῆς ἕω πάσης ἐκράτησε, φιλολογεῖν τὰ πλεῖστα καὶ σοφῶν τοῖς ἀρίστοις συγγίνεσθαι, ἐν πολλοῖς δὲ καὶ εἰωθέναι λέγειν, ἐπὶ τῷ δε μάλιστα ταῖς τῶν πράξεων μεγίσταις ἐνασμενίζειν καὶ μεγαλοκίνδυνος εἶναι καὶ φιλοκίνδυνος, ὅπως βαρβάρους μὲν νικῷεν Ἕλληνες, ὑπὸ δὲ Ἑλλήνων αὐτὸς ἀνακηρύττοιτο, καὶ εἴη